habet cognita & in eis versatur, prudens esse: at ij, qui se ad rempub. contulerunt, multarum actionum studio, rerúmq. alienarum cura distineri. Iccirco & Euripides,

*Prudentem enim quis me putet mortalium,*
*Cui suppetebat absque vllo negotio*
*In totius turba numerato exercitus*
*Sortem parem obtinere sapientissimo?*
*Praestantiores nanque, & eos, qui pluribus*
*Se rebus implicant, malè odit Iupiter.*

Quærunt. n. vulgò id, quod sibi bono est, idq. vnū agere se arbitrantur oportere. Ex hac igitur opinione natū est, hos esse prudenteis. Atqui suum negotium nosse atq. agere sine rei familiaris, reiq. publicæ cura, fortasse nemo possit. Præterea quomodo suum quisq. negotium gerere debeat, obscurū est, & res eget cōsideratione. Cuius rei hoc argumentū est, quòd iuuenes, & geometræ, & mathematici, & talib. disciplinis eruditi fiunt, prudētes nō fiunt. Causa hęc est, quòd etiā in reb. singularib. prudentia vertitur, quarū cognitio vsu cōparatur. Adolescens autē vsum rerū non habet, quippe quem temporis longinquitas sit allatura. (Nā hoc quoq. consideratione dignum est, quamobrem puer mathematicus effici possit, sapiens aut physicus non possit. An quòd illa à materia diuulsa ac segregata sunt: horum principia ex vsu & experientia nascuntur? & quòd his non assentiuntur, neq. fidem habent iuuenes, sed ea dicunt tantùm: quid sint illa autē, non est obscurum?) Præterea quidquid in consultando peccatur, vel ad res vniuersas pertinet, vel ad singulareis. Nā vel omneis aquas graueis, esse insalubreis, vel hanc esse grauem. Prudentiam autem, nō esse scientiam, perspicuum est: extremi enim est, vt dictum est. Tale enim est id, quod sub actionem venit. Menti igitur seu intelligentiæ opponitur. Mens enim eorum terminorum est, quorum ratio afferri non potest. Prudentia extremi, quod non scientia, sed sensu percipitur: non illo, cui propriæ sunt attributæ qualitates, quas sentiat: sed eo, quod sentimus hoc extremum in mathematicis, esse triangulum. Nam illic quoque insistit. Veruntamen prudentia sensus est potius. Illius autem alia forma, aliáque notio est.

A αὑτὸν εἰδὼς καὶ διατρίβων, φρόνιμος εἶναι· οἱ δὲ πολιτικοὶ, πολυπράγμονες· διὸ καὶ Εὐριπίδης, Πῶς δ' ἂν φρονοίην, ᾧ παρῆν ἀπραγμόνως Ἐν τοῖσι πολλοῖς ἠριθμημένῳ στρατοῦ, Ἴσον μετασχεῖν τῷ σοφωτάτῳ τύχης; Τοὺς γὰρ περισσοὺς καί τι πράσσοντας πλέον, Ζεὺς μισεῖ. ζητοῦσι γὰρ τὸ αὑτοῖς ἀγαθὸν, καὶ οἴονται τοῦτο δεῖν πράττειν, ἐκ ταύτης οὖν τῆς B δόξης ἐλήλυθε τὸ τούτους εἶναι φρονίμους· καίτοι ἴσως οὐκ ἔστι τὸ αὑτοῦ εὖ ἄνευ οἰκονομίας, οὐδ' ἄνευ πολιτείας. ἔτι δὲ, τὰ αὑτοῦ πῶς δεῖ διοικεῖν, ἄδηλον καὶ σκεπτέον. σημεῖον δ' ἐστὶ τοῦ εἰρημένου, καὶ διότι γεωμετρικοὶ μὲν νέοι καὶ μαθηματικοὶ γίνονται, καὶ σοφοὶ τὰ τοιαῦτα· φρόνιμος δ' οὐ δοκεῖ γίνεσθαι. αἴτιον δ', ὅτι καὶ τῶν καθ' ἕκαστά ἐστιν ἡ φρόνησις, ἃ γίνεται γνώριμα ἐξ ἐμπειρίας· νέος δ', ἔμπει- C ρος οὐκ ἔστι· πλῆθος γὰρ χρόνου ποιεῖ τὴν ἐμπειρίαν· ἐπεὶ καὶ τοῦτ' ἄν τις σκέψαιτο, διὰ τί μαθηματικὸς μὲν παῖς γένοιτ' ἄν· σοφὸς δὲ, ἢ φυσικὸς, οὔ· ἢ ὅτι, τὰ μὲν δι' ἀφαιρέσεώς ἐστι· τῶν δ', αἱ ἀρχαὶ ἐξ ἐμπειρίας. καὶ τὰ μὲν, οὐ πιστεύουσιν οἱ νέοι, ἀλλὰ λέγουσι· τῶν δὲ, τὸ τί ἐστιν οὐκ ἄδηλον. ἔτι, ἡ ἁμαρτία, ἢ περὶ τὸ καθόλου ἐν τῷ βουλεύσασθαι, ἢ περὶ τὸ καθ' ἕ- D καστον· ἢ γὰρ, ὅτι πάντα τὰ βαρύσταθμα ὕδατα, φαῦλα· ἢ ὅτι τοδὶ βαρύσταθμον. ὅτι δ' ἡ φρόνησις οὐκ ἐπιστήμη, φανερόν. τοῦ γὰρ ἐσχάτου ἐστὶν, ὥσπερ εἴρηται· τὸ γὰρ πρακτὸν τοιοῦτον. ἀντίκειται μὲν δὴ τῷ νῷ· ὁ μὲν γὰρ νοῦς, τῶν ὅρων, ὧν οὐκ ἔστι λόγος· ἡ δὲ, τοῦ ἐσχάτου, οὗ οὐκ ἔστιν ἐπιστήμη, ἀλλ' αἴσθησις· οὐχ ἡ τῶν ἰδίων, ἀλλ' οἷα αἰσθανόμεθα, ὅτι τὸ ἐν τοῖς μαθη- E ματικοῖς ἔσχατον, τρίγωνον· στήσεται γὰρ κἀκεῖ. ἀλλ' αὕτη μᾶλλον αἴσθησις ἢ φρόνησις· ἐκείνης δὲ, ἄλλο εἶδος.

## Κεφάλαιον θ.

ΤΟ ζητεῖν δὲ, καὶ τὸ βουλεύεσθαι διαφέρει· τὸ γὰρ βουλεύεσθαι, ζητεῖν τι ἐστί. δεῖ δὲ διαλαβεῖν καὶ περὶ εὐβουλίας, τί ἐστι, πότερον ἐπιστήμη τις, ἢ δόξα, ἢ εὐστοχία, ἢ ἄλλο τι γένος. ἐπιστήμη μὲν δὴ οὐκ F ἔστιν· οὐ γὰρ ζητοῦσι περὶ ὧν ἴσασιν· ἡ δ' εὐβουλία, βουλή τις ἐστίν· ὁ δὲ βουλευόμενος,

## CAPVT IX.

QVærere autem & consultare, inter se differunt. Nā consultare, aliquid quærere est. Sed etiā de bona consultatione, quid sit, distinctione adhibita videndum est, vtrum scientia aliqua sit, an opinio, an bona coniectura, an aliud quoddam genus. Ac primùm sanè non est scientia. Nam de iis, quæ sciuntur, quæri non solet. At bona consultatio, consultatio est. Qui autem

aliqua